è mari victitans,& ſpumas eſitans. Cæterum plu- A moſo admodũ corpore,ſed carne ſtrigoſa & quaſi oſſea. Eum,aiunt,dum parturit clamore littora implere,vnde prouerbium κέπφος ὠδίνει, quod dictum de magnis promiſſoribus,nihílque adferentibus dignum tanto hiatu. Quale illud, *Parturiẽt montes*, Quod Tarches Rex Ægypti illudẽs Ageſilao qui paruus erat & auxilio illi venerat, vſurpauerat per Anapæſticos, ὤδινεν ὄρος, Ζεὺς ἐφοβεῖτο, τὸ δ' ἔτικτεν μῦν, quod ſcomma non impunè acceptum ab Ageſilao. Putem autem (ſi huius auicu- B læ etymon rimari etiam mihi liceat) dictum κέπφον quaſi κύοντα ἐν φωνῇ. De Ceppho Aratus in Prognoſticis,meminit,& Nicander,& verò Callimachus in Iambis. Sed mirum quantum diſſident & veteres & recentiores in interpretatione huius vocis. Nam alij mergum,quidam fulicam,

non nemo Ardeam: Sunt & qui confundant αἴθυιαν cum laro & gauia. Mihi gauia videtur eſſe καύηξ, & indidem origo vocis, ſiue quia καῦρος id eſt κοῦφος per epentheſim τοῦ κ ab aura, ſiue ἀπὸ τῆς κάβης, id eſt τροφῆς, vnde κάπτειν, eſt enim vorax & ἀδηφάγος. Larus autem dicta vel quia λάλος, eſt enim clamoſa, vel quaſi λάβρος ab impetu vorandi. Qua ratione αἴθυια dici potuit, nam & Eryſichthon dictus αἴθων ab ardente fame: etſi quidam à calore αἴθυιαν ἐτυμολογοῦσι. Sunt enim gauiæ aliæ albæ, aliæ fuſcæ: & Ardeam fortaſſis eadem ratione dictam non ineptè exiſtimemus ab ardore, quamuis alij quaſi arduam ἀπὸ τοῦ ἀέρα θύειν quòd altè volat. Vulgus Græcorum κέπφον hodiéque vocant λοῦφα, ſanè detortum ex κοῦφα. Nos Galli fulicam, *Foulque*, inuerſè fortaſſis quaſi *Couſe*, id eſt κούφη.

Ὦν δόλιαι ψυχαί, δόλιαι φρένες. Τρ. Εἴθε σου 'στι C
Ὤφελεν, ὦ 'λαζὼν οὑτωσὶ θερμὸς ὁ πλεύμων.
Ἱερ. Εἰ γὰρ μὴ νύμφαι γε θεαὶ Βάκιν ἐξαπάτασκον,
Μηδὲ Βάκις θνητούς, μηδ' αὖ νύμφαι Βάκιν αὐτόν.
Τρυ. Ἐξώλης ἀπόλοι' εἰ μὴ παύσαιο βακίζων.
Ἱερ. Οὔπω θέσφατον ἦν εἰρήνης δέσμ' ἀναλῦσαι, D
Ἀλλὰ τόδε πρῶτον. Τρ. Τοῖς ἁλσί γε παστέα ταυτί.
Ἱερ. Οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν,
Φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ,
Ὡς ἡ σφονδύλη φεύγουσα πονηρότατον βδεῖ,
Χ' ἡ κώδων ἀκαλανθὶς ἐπειγομένη, τυφλὰ τίκτει, E
Τουτάκις οὔπω χρῆν τὴν εἰρήνην πεποιῆσθαι.
Τρ. Ἀλλὰ τί χρῆν ἡμᾶς, οὐ παύσασθαι πολεμοῦντας;
Ἢ διακαυνιάσαι, πότεροι κλαυσούμεθα μείζως;
Ἐξὸν σπεισαμένοις κοινῇ, τῆς Ἑλλάδος ἄρχειν.

Mens animi quibus alta dolis pectúſque. TR. vtinam tu
Tam caldo pulmone ſuas iactator inanis.
HIE. Namque Bacim Nymphæ niſi decepere docentes,
Nec Bacis ipſe homines, ſi nec Nymphæ Bacin ipſum.
TRY. Dij te eradicent, niſi deſinis vſque baciſſans.
HIE. Nondum erat in fatis diſſolui vincula Pacis,
Hoc tamen imprimis. TRY. decet hæc ſale ſpargere primum.
HIE. Nondum etenim vt fiat bellorum miſſio amicum eſt
Diis ſuperis prius antè lupo quàm nupſerit agna.
Vt male olet fugiens & viſſit putida blatta,
Vt generat cæcos properans arguta acalanthis:
Tempora ſic nondum pacis matura fuerunt.
TRY. Quid faceremus enim, non finem imponere bellis?
An ſortiri vtri noſtrum grauiora dolerent?
Imperium in Græcos fœdus cùm ſpondeat iſtud?

Σχόλια. Ὦν δόλιαι ψυχαί.] ἀεὶ τοὺς Λακεδαιμονίους εἰς τοῦτο κωμῳδοῦσιν, καὶ Εὐριπίδης. Σπάρτης ἔνοικοι δόλια βουλευτήρια. Θερμὸς ὁ πλεύμων] κεκαυμένος.] ἐσθίοντες γὰρ τὰ σπλάγχνα θερμὰ ὄντα, τοῦτο φασὶ πρὸς Ἱεροκλέα. Ἀττικῶς δὲ διὰ τοῦ λ. ὁ πλεύμων. Εἰ F γὰρ μὴ νύμφαι.] αἱ ἔφοροι τῆς μαντικῆς νύμφαι. οὕτω δὲ εἶπεν, ὡσεὶ ἔλεγεν ἐξεπαίδευον. Βάκις.] χρησμολόγος ὁ Βάκις. Βάκιδες δὲ τρεῖς. ὧν πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας. ὁ δὲ δεύτερος, Ἀττικός. τρίτος Ἀρκὰς ἐκ πόλεως Καφύης. ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ ἀλήτης ὥς φησι Φιλητᾶς ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ θ. τῶν Φιλιππικῶν. ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα G καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας, μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. ἔστι δὲ καὶ ἐπίθετον Πεισιστράτου. Βακίζων.] εἰ μὴ παύσαιο μεμνημένος Βάκιδος. Βάκιδος μνημονεύων. Τοῖς ἁλσί γε.] ἐπίτηδες ἀποκεκοφὼς τὸν λόγον λέγει.

φησὶ δὲ, τὰ κρέα χρῆναι πρότερον τοῖς ἁλσὶ πασθῆναι τὰ ὠπτημένα. Ὑμεναιοῖ.] εἰς γάμους ἄγοιτο. τὸ ἀδύνατον δὲ εἶπε παρὰ τὸ ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά. οὐδὲ λύκοι τε καὶ ἄνδρες ὁμόφρονα θυμὸν ἔχουσιν. Ὡς ἡ σφονδύλη] σίλφη τίς ἐστιν ἡ σφονδύλη, ἢ βδέλλῃ προσόμοια, δυσώδης ὄντως. ἄρχεται δὲ ἀδιανόητα λέγειν τοὺς χρησμῳδοὺς μιμούμενος κατὰ τὸ τῶν χρησμῶν λοξόν.

Bisetvs. Πιθανώτερον ἴσως εἰ γράψῃς σπονδύλη. σπονδύλη δὲ κατὰ τὸν Ἡσύχιον ἡ [illegible] παρὰ τοῖς Ἀττικοῖς καλεῖται. τινὲς δὲ τῶν λεξικογράφων καὶ σπονδύλην, καὶ σφονδύλην ταυτὸν εἶναι λέγουσι.

Christ. Ὦν δόλιαι ψυχαί] A doloſa & vulpina mente malè audiebant Lacedæmonij. Nam & Euripides Andromacha, Σπάρτης ἔνοικοι δόλια βουλευτήρια. i. *Spartæ incolæ doloſa conciliabula.* Βάκις] Inter hariolos & χρησμολόγους principẽ olim locum obtinuit Bacis. Fuerunt autem tres Baci-